Τὴν δοθεῖσαν γωνίαν εὐθύγραμμον δίχα τεμεῖν. ἔστω ἡ δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ βαγ· δεῖ δὴ αὐτὴν δίχα τεμεῖν. εἰλήφθω ἐπὶ τῆς αβ τυχὸν σημεῖον τὸ δ· καὶ ἀφῃρήσθω ἀπὸ τῆς αγ τῇ αδ ἴση ἡ αε· καὶ ἐπεζεύχθω ἡ δε· καὶ συνεστάτω ἐπὶ τῆς δε τρίγωνον ἰσόπλευρον τὸ δεζ· καὶ ἐπεζεύχθω ἡ αζ· λέγω ὅτι ἡ ὑπὸ βαγ δίχα τέτμηται ὑπὸ τῆς αζ εὐθείας. ἐπεὶ ἴση ἡ αδ τῇ αε· κοινὴ δὲ ἡ αζ· δύο δὴ αἱ δα αζ δυσὶ ταῖς εα αζ ἴσαι ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ δζ βάσει τῇ εζ ἴση· γωνία ἄρα ἡ ὑπὸ δαζ γωνίᾳ τῇ ὑπὸ εαζ ἴση. ἡ ἄρα δοθεῖσα γωνία εὐθύγραμμος ἡ ὑπὸ βαγ δίχα τέτμηται ὑπὸ τῆς αζ εὐθείας· ὅπερ ἔδει ποιῆσαι.

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην δίχα τεμεῖν. ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ αβ· δεῖ δὴ τὴν αβ δίχα τεμεῖν. συνεστάτω ἐπ' αὐτῆς τρίγωνον ἰσόπλευρον τὸ αβγ· καὶ τετμήσθω ἡ ὑπὸ αγβ γωνία δίχα τῇ γδ εὐθείᾳ· λέγω ὅτι ἡ αβ δίχα τέτμηται κατὰ τὸ δ σημεῖον. ἐπεὶ ἴση ἡ αγ τῇ γβ· κοινὴ δὲ ἡ γδ· δύο δὴ αἱ αγ γδ δυσὶ ταῖς βγ γδ ἴσαι ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ αγδ γωνίᾳ τῇ ὑπὸ βγδ ἴση· καὶ βάσις ἄρα ἡ αδ βάσει τῇ βδ ἴση. ἡ ἄρα δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ αβ δίχα τέτμηται κατὰ τὸ δ· ὅπερ ἔδει ποιῆσαι.

Τῇ δοθείσῃ εὐθείᾳ ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου πρὸς ὀρθὰς γωνίας εὐθεῖαν γραμμὴν ἀγαγεῖν. ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ αβ· τὸ δὲ δοθὲν σημεῖον ἐπ' αὐτῆς τὸ γ· δεῖ δὴ ἀπὸ τοῦ γ σημείου τῇ αβ εὐθείᾳ πρὸς ὀρθὰς γωνίας εὐθεῖαν γραμμὴν ἀγαγεῖν. εἰλήφθω ἐπὶ τῆς αγ τυχὸν σημεῖον τὸ δ· καὶ κείσθω τῇ γδ ἴση ἡ γε· καὶ συνεστάτω ἐπὶ τῆς δε τρίγωνον ἰσόπλευρον τὸ ζδε· καὶ ἐπεζεύχθω ἡ ζγ· λέγω ὅτι τῇ δοθείσῃ εὐθείᾳ τῇ αβ ἀπὸ τοῦ πρὸς αὐτῇ δοθέντος σημείου τοῦ γ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἦκται ἡ ζγ. ἐπεὶ ἴση ἐστὶν ἡ δγ τῇ γε· κοινὴ δὲ ἡ γζ· δύο δὴ αἱ δγ γζ δυσὶ ταῖς εγ γζ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ δζ βάσει τῇ ζε ἴση· γωνία ἄρα ἡ ὑπὸ δγζ γωνίᾳ τῇ ὑπὸ εγζ ἴση· καί εἰσιν ἐφεξῆς. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ





